Μν. Χάλασόν τὸν ἧλον. Τοξ. ἀλλὰ ταῦτα δρᾷς ἐγώ.
Μν. Οἴμοι κακοδαίμων· μᾶλλον ἐπικρούσεις σύ γε.
Τοξ. Ἔτι μᾶλλον βούλῃς. Μν. ἀτταταῖ. ἀτταταῖ
Κακῶς ἀπόλοιο. Τοξ. σίγα κακοδαίμων γέρον
Περ' ἐγὼ ξεινίσκι πορμὸς ἵνα πυλάξῃ σοι.
Μν. Ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
Ἔα θεοί. Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
Ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι
Σημεῖον ὑπεδήλωσεν Περσεὺς ἐκδραμὼν
Ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν, πάντως δέ μοι
Τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν ἔσθ' ὅτι
Ἥξει με σώσων. οὐ γὰρ ἂν παρέπτατο.

*MN. Relaxa clauum. SAT. sed hæc faciam ego?*
*MN. Hei mihi misero, magis infiges tu quidem.*
*SAT. Adhuc magis vis. MN. At at, papæ papæ*
*Male pereas. SAT. Tace infelix senex,*
*Age ego feram stoream, vt custodiam te.*
*MN. Hæc optima consequutus sum ab Euripide.*
*Sine ô dij, Iupiter seruator, sunt spes,*
*Vir videtur non proditurus, sed mihi*
*Signum latenter ostendit Perseus prætercurrens,*
*Quod oportet me fieri Andromedam, prorsus autem mihi*
*Vincula adsunt. perspicuum igitur est, quòd*
*Veniet me seruaturus, non enim prætervolasset.*

Bourdinus. Ἐνταῦθ.] προσέρχεται δὴ ὁ Τοξότης, ὡς μαστίζων τὸν Μνησίλοχον. Οἰμώξει.] δώσει τὴν δίκην. Πρὸς τὴν αἰτρίαν.] ὑπὸ τῷ Διί. Χάλα.] ἄνες καὶ μὴ ἐπίρουσον οὕτω τὸν ἧλον. Ἐπικρούσεις.] ἐπιπατάξεις. ἐπιθήσῃ ἐμπήξῃ, καὶ ἐμβαλεῖ. Ἀτταταῖ.] σχετλιαστικόν. Περ ἐγώ.] τοῦτο τὸ ῥῆμα ἐστὶ γεγραφὲν ἐν σκυθικῇ γλώσσῃ. σημαίνει, ἐγὼ δὴ οἴσω φορμὸν, ἵνα φυλάξω σε. Πορμός.] ἀντὶ τοῦ φορμός. Πυλάξῃ.] φυλάξῃ. Μνησιλ.] ταῦτα τὰ ἔπη παρ' αὐτῷ λέγει ὁ Μνησίλοχος. Ἀπολέλαυκα.] ταύτην τὴν βελτίστην ἀπόλαυσιν ἔλαβον ἐκ τοῦ Εὐριπίδου. τοῦτον τὸν καρπὸν συνέλαβον ἐκ τῆς συνουσίας καὶ ὁμιλίας τοῦ Εὐριπίδου. Ὑπεδήλωσεν.] ὑπέδειξεν, ὑπέφηνεν, τὸ δεῖγμα παρέσχεν. Ἀνδρομέδαν.] τουτέστι, ἀπαλλάττεσθαι καὶ ἐκλύεσθαι τούτου κινδύνου, ὥσπερ ἐξέλυσεν ὁ Περσεὺς τὴν Ἀνδρομέδαν προβληθεῖσαν τοῖς ἰχθύσι ὡς βορὰν γενησομένην. καθάπερ οἱ ποιηταὶ ἐμυθολόγησαν.

Bisetus. Ἐνταῦθα νῦν.] ὁ Τοξότης τὸν Μνησίλοχον δεσμεύων, καὶ τῇ σανίδι ἐπισφίγγων ταῦτα λέγει. ἐπεὶ δὲ Σκύθης ὢν τὸ γένος, ὡς βάρβαρος βαρβαρίζει, καὶ τούτου τοὺς βαρβαρισμοὺς ὁ ποιητὴς ἡμῖν καλῶς χαρακτηρίζει. τὸ γὰρ οἰμώξει, ἀντὶ τοῦ οἰμώξεις εἴρηται. αἰτρείαν δὲ, ἀντὶ τοῦ αἰθρίαν. ἱκετεύσῃ δὲ, ἀντὶ τοῦ ἱκετεύσεις, ἢ ἱκέτευσον. δρᾷς ἐγὼ, δράσω ἐγώ. βούλῃς δὲ, βούλει, ἐθέλεις. Πέρ ἐγώ.) ταῦτα πάντα βάρβαρος βαρβαρικῶς καὶ προφέρει, καὶ συντάσσει. ἑλληνικῶς δὲ λέξειας οὕτω. φέρ' ἐγὼ ἐξενέγκω φορμὸν ἵνα φυλάξω σε. φέρε ἐγὼ φορμὸν ἐξοίσω, ἵνα σὲ φυλάξω. τί δὲ φορμὸς, ἤδη προείρηται. σημείωσαι δὲ παρὰ πολλοῖς καὶ τῶν νῦν βαρβάρων τὸ π ἀντὶ τοῦ φ. καὶ ἀνάπαλιν τὸ φ. ἀντὶ τοῦ π ἐν χρήσει εἶναι. τινὲς δ' ἦσαν οἱ τοξόται, καὶ ἄνω δεδήλωται. τούτοις, καὶ τοῖς δορυφόροις οἱ βασιλεῖς σωματοφυλαξὶ τῆς ἑαυτῶν ἀσφαλείας, καὶ σωτηρίας ἕνεκα φιλοῦσι χρῆσθαι. Ταυτὶ τὰ βέλτιστα.] εἰρωνεία, ἀντὶ τοῦ ταῦτα τὰ δεινότατα κακὰ διὰ τὸν Εὐριπίδην ἀπέλαυσα, τουτέστιν ἔπαθον. ταῦτα δὲ λέγει Μνησίλοχος τὸν πρόδηλον κίνδυνον ὁρῶν, καὶ ἐν τῇ τοῦ Σκύθου τοξότου φυλακῇ κατὰ τὴν τοῦ Πρυτάνεως ἐπιταγὴν ὤν. ἐν μεγάλῃ τοίνυν ἀθυμίᾳ στρέφεται, καὶ ὑπὸ τοῦ Εὐριπίδου ἑαυτὸν καταλειφθήσεσθαι, καὶ προδοθήσεσθαι νομίζει. ἐν ᾧ δὲ χρόνῳ οὕτως ἀθυμεῖ καὶ πολλὰ ἄτοπα περὶ τοῦ Εὐριπίδου καθ' ἑαυτὸν ἀναπεμπάζει, ἰδοὺ ὁ Εὐριπίδης καινὴν σωτηρίας τέχνην ἐξευρὼν προσέρχεται, ὃν ἀναγνωρίσας ὁ Μνησίλοχος τοῖς ἄλλοις τὸ πρᾶγμα μὴ δηλῶν ἀναπνεῖ, καὶ τὴν ἐλπίδα τὴν μονονοὺκ ἀποβληθεῖσαν περὶ τῆς ἑαυτοῦ σωτηρίας ἀναλαμβάνει, καὶ εὔχεται τοὺς θεοὺς αὐτῷ παρεῖναι σωτῆρας. Περσεὺς ἐκδραμών) τὸν Εὐριπίδην οὕτω καλεῖ. ὃς πανούργως τὸ τοῦ Περσέως προσωπεῖον ἐνεδύσατο, καὶ Περσεὺς εἶναι προσποιούμενος πρὸς τὸν Μνησίλοχον ὡς πρὸς Ἀνδρομέδην αὐτὴν σώσων ἐχώρει. ἵνα δὲ τὴν Ἀριστοφάνους γνώμην βέλτιον γινώσκωμεν, ἰστέον ὅτι Περσεὺς τὰ Ἑρμοῦ πέδιλα ὑποδησάμενος ἔπτατο πρὸς τὴν Ἀνδρομέδην κήτει, θαλασσίῳ θηρίῳ παραβεβλημένην, καὶ αὐτὴν τοῦ θανάτου ἀπέλυσε. τὸν δὲ Περσέα τὴν Ἀνδρομέδην σωθεῖσαν ἀπαγαγεῖν ἤδη βουλόμενον, Κηφεὺς ὁ αὐτῆς πατὴρ μετ' Ἀγήνορος, ᾧ πρότερον ἦν ἐγγεγυημένη, λάθρα κτείνειν ἐπεχείρησεν. ὁ δὲ τὴν αὐτῶν ἐπιβουλὴν καταμαθὼν, τὴν Γοργόνος κεφαλὴν αὐτοῖς ἔδειξε, καὶ πάντας ἀνθρωπίνης φύσεως, καὶ μορφῆς στερήσας εἰς λίθους μετεμόρφωσεν. Εὐριπίδης οὖν ἐνταῦθα τοιούτῳ τρόπῳ, καὶ καινῇ τέχνῃ τὸν Μνησίλοχον σώζειν πειρᾶται. Ἀνδρομέδαν.) Ἀνδρομέδα, Λήδα, Φιλομήλα, καὶ ἄλλα πολλὰ δωρικῶς λέγονται. κοινῶς δὲ Ἀνδρομέδη, Λήδη, Φιλομήλη.

## ΕΥΡΙΠΙΔΗΣ ὡς ΠΕΡΣΕΥΣ, ΜΝΗΣΙΛΟΧΟΣ, ὡς Ἀνδρομέδη.

## EVRIPIDES TANQVAM Perseus. Mnesilochus, tanquam Andromeda.

Εὐ. Φίλαι παρθένοι φίλαι,
Πῶς ἂν ἀπέλθοιμι, καὶ
Τὸν Σκύθην λάβοιμι.

*EV. Charæ virgines charæ,*
*Quomodo abirem, &*
*Scytham comprehenderem?*

BOVR